μος, εἰρήνη δ' οὐ τρέφει — ἀλλ' ὁ τὴν χώραν
γεωργῶν καὶ ὁ τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν
ἡσύχιον βίον ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα,
τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ
3 τῇ τῆς πόλεως ἀσφαλείᾳ. δεινὸν δέ τι συμβαίνει
πολλοῖς τῶν κρινόντων ὦ ἄνδρες δικασταί. ὥσπερ
γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα
κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος
παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ
ἐᾷ δι' ὀργὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ
συνορᾶν ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων
μᾶλλον ἢ τῶν ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν
ἔχουσιν ἐκ τῆς πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται
179 τὸν δικαστήν, οἱ δ' ἀναγκάζονται πρὸς ὠργισμένους
4 κριτὰς τὴν διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν
φαίνωμαι τοῖς ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε,
μὴ φείσησθε· οὐ παραιτοῦμαι· ἐὰν δ' εὑρίσκωμαι
τῶν ἐγκεκλημένων κεχωρισμένος τῷ δικαίῳ, τοῖς
νόμοις, τῷ συμφέροντι, μὴ πρόησθέ με τῇ τῶν κα-
τηγόρων ὠμότητι. εἰ δὲ πάντως ἀποθανὼν συμ-
βαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι
λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ
θανάτῳ δημοσίαν εὔνοιαν καλόν, ἐὰν ἡ χρεία τῆς

ἡσύχιον] Dem. 10, 70. — ᾧ τὴν Ἀττικὴν κτέ.] Demosthenem imitatur (18, 300).

3. ὦ ἄνδρες Bk. cum corr. X (v. Schoell.) rc. E: ωδε pr. X, ὥδε M, ὦ N, om. pr. E, ὧδε v. — ὥσπερ ἡ (sic) — — ἀντιτάσσεσθαι e. 3. — δικαστῶν] δικαίων e. — alterum συνορᾶν (etiam e.) corruptum.

4. ἐὰν δ'] ἂν δ' X. — ἑτοίμως — καλόν e. 4. — εὔνοιαν] εὐδαιμονίαν S. — ἐὰν ἡ XEIT Bk.: ἐὰν ᾖ. —